Joh. 1:1–34

1 Ἐν ἀρχη ἠν ὁ λογος, και ὁ λογος ἠν προς τον θεον, και θεος ἠν ὁ λογος. 2 οὑτος ἠν ἐν
ἀρχη προς τον θεον. 3 παντα δι αὐτου ἐγενετο, και χωρις αὐτου ἐγενετο οὐδε ἑν. ὁ γεγονεν
4 ἐν αὐτω ζωη ἠν, και ἡ ζωη ἠν το φως των ἀνθρωπων· 5 και το φως ἐν τη σκοτια φαινει,
και ἡ σκοτια αὐτο οὐ κατελαβεν.

6 Ἐγενετο ἀνθρωπος, ἀπεσταλμενος παρα θεου, ὀνομα αὐτω Ἰωαννης· 7 οὑτος ἠλθεν εἰς
μαρτυριαν ἱνα μαρτυρηση περι του φωτος, ἱνα παντες πιστευσωσιν δι αὐτου. 8 οὐκ ἠν
ἐκεινος το φως, ἀλλ ἱνα μαρτυρηση περι του φωτος.

9 Ἠν το φως το ἀληθινον, ὁ φωτιζει παντα ἀνθρωπον, ἐρχομενον εἰς τον κοσμον. 10 ἐν τω
κοσμω ἠν, και ὁ κοσμος δι αὐτου ἐγενετο, και ὁ κοσμος αὐτον οὐκ ἐγνω. 11 εἰς τα ἰδια
ἠλθεν, και οἱ ἰδιοι αὐτον οὐ παρελαβον. 12 ὁσοι δε ἐλαβον αὐτον, ἐδωκεν αὐτοις ἐξουσιαν
τεκνα θεου γενεσθαι, τοις πιστευουσιν εἰς το ὀνομα αὐτου, 13 οἱ οὐκ ἐξ αἱματων οὐδε ἐκ
θεληματος σαρκος οὐδε ἐκ θεληματος ἀνδρος ἀλλ ἐκ θεου ἐγεννηθησαν.

14 Και ὁ λογος σαρξ ἐγενετο και ἐσκηνωσεν ἐν ἡμιν, και ἐθεασαμεθα την δοξαν αὐτου,
δοξαν ὡς μονογενους παρα πατρος, πληρης χαριτος και ἀληθειας. 15 Ἰωαννης μαρτυρει
περι αὐτου και κεκραγεν λεγων· οὑτος ἠν ὁν εἰπον· ὁ ὀπισω μου ἐρχομενος ἐμπροσθεν μου
γεγονεν, ὁτι πρωτος μου ἠν 16 ὁτι ἐκ του πληρωματος αὐτου ἡμεις παντες ἐλαβομεν και
χαριν ἀντι χαριτος· 17 ὁτι ὁ νομος δια Μωϋσεως ἐδοθη, ἡ χαρις και ἡ ἀληθεια δια Ἰησου
Χριστου ἐγενετο. 18 Θεον οὐδεις ἑωρακεν πωποτε· μονογενης θεος ὁ ὢν εἰς τον κολπον
του πατρος ἐκεινος ἐξηγησατο.

19 Και αὑτη ἐστιν ἡ μαρτυρια του Ἰωαννου, ὁτε ἀπεστειλαν [προς αὐτον] οἱ Ἰουδαιοι ἐξ
Ἱεροσολυμων ἱερεις και Λευιτας ἱνα ἐρωτησωσιν αὐτον· σὺ τις εἰ; 20 και ὡμολογησεν και
οὐκ ἠρνησατο, και ὡμολογησεν ὁτι ἐγω οὐκ εἰμι ὁ χριστος. 21 και ἠρωτησαν αὐτον· τι οὐν;
σὺ Ἠλιας εἰ; και λεγει· οὐκ εἰμι. ὁ προφητης εἰ συ; και ἀπεκριθη· οὐ. 22 εἰπαν οὐν αὐτω· τις
εἰ; ἱνα ἀποκρισιν δωμεν τοις πεμψασιν ἡμας· τι λεγεις περι σεαυτου; 23 ἐφη· ἐγω *φωνη
βοωντος ἐν τη ἐρημω· εὐθυνατε την ὁδον κυριου,*

καθως εἰπεν Ἠσαϊας ὁ προφητης.

24 Και ἀπεσταλμενοι ἠσαν ἐκ των Φαρισαιων. 25 και ἠρωτησαν αὐτον και εἰπαν αὐτω· τι
οὐν βαπτιζεις εἰ σὺ οὐκ εἰ ὁ χριστος οὐδε Ἠλιας οὐδε ὁ προφητης; 26 ἀπεκριθη αὐτοις ὁ
Ἰωαννης λεγων· ἐγω βαπτιζω ἐν ὑδατι· μεσος ὑμων ἑστηκεν ὁν ὑμεις οὐκ οἰδατε, 27 ὁ
ὀπισω μου ἐρχομενος, οὑ οὐκ εἰμι [ἐγω] ἀξιος ἱνα λυσω αὐτου τον ἱμαντα του ὑποδηματος.
28 ταυτα ἐν Βηθανια ἐγενετο περαν του Ἰορδανου, ὁπου ἠν ὁ Ἰωαννης βαπτιζων.

29 Τη ἐπαυριον βλεπει τον Ἰησουν ἐρχομενον προς αὐτον και λεγει· ἰδε ὁ ἀμνος του θεου ὁ
αἰρων την ἁμαρτιαν του κοσμου. 30 οὑτος ἐστιν ὑπερ οὑ ἐγω εἰπον· ὀπισω μου ἐρχεται
ἀνηρ ὁς ἐμπροσθεν μου γεγονεν, ὁτι πρωτος μου ἠν. 31 κἀγω οὐκ ᾐδειν αὐτον, ἀλλ ἱνα
φανερωθη τω Ἰσραηλ δια τουτο ἠλθον ἐγω ἐν ὑδατι βαπτιζων. 32 Και ἐμαρτυρησεν
Ἰωαννης λεγων ὁτι τεθεαμαι το πνευμα καταβαινον ὡς περιστεραν ἐξ οὐρανου και
ἐμεινεν ἐπ αὐτον. 33 καγω οὐκ ᾐδειν αὐτον, ἀλλ ὁ πεμψας με βαπτιζειν ἐν ὑδατι ἐκεινος
μοι εἰπεν· ἐφ ὁν ἀν ἰδης το πνευμα καταβαινον και μενον ἐπ αὐτον, οὑτος ἐστιν ὁ
βαπτιζων ἐν πνευματι ἁγιω. 34 καγω ἑωρακα και μεμαρτυρηκα ὁτι οὑτος ἐστιν ὁ υἱος του
θεου.

Joh. 1:1–34 (transkriptio)

1 En arkhē ēn ho logos, kai ho logos ēn pros ton theon, kai theos ēn ho logos. 2 hūtos ēn
en arkhē pros ton theon. 3 panta di autū egeneto, kai khōris autū egeneto ūde hen. ho
gegonen 4 en autō zōē ēn, kai hē zōē ēn to fōs tōn anthrōpōn; 5 kai to fōs en tē skotia
fainei, kai hē skotia auto ū katelaben.

6 Egeneto anthrōpos, apestalmenos para theū, onoma autō Iōannēs; 7 hūtos ēlthen eis
martyrian hina martyrēsē peri tū fōtos, hina pantes pisteusōsin di autū. 8 ūk ēn ekeinos to
fōs, all hina martyrēsē peri tū fōtos.

9 En to fōs to alēthinon, ho fōtizei panta anthrōpon, erkhomenon eis ton kosmon. 10 en
tō kosmō ēn, kai ho kosmos di autū egeneto, kai ho kosmos auton ūk egnō. 11 eis ta idia
ēlthen, kai hoi idioi auton ū parelabon. 12 hosoi de elabon auton, edōken autois exūsian
tekna theū genesthai, tois pisteuūsin eis to onoma autū, 13 hoi ūk ex haimatōn ūde ek
thelēmatos sarkos ūde ek thelēmatos andros all ek theū egennēthēsan.

14 Kai ho logos sarx egeneto kai eskēnōsen en hēmin, kai etheasametha tēn doxan autū,
doxan hōs monogenūs para patros, plērēs kharitos kai alētheias. 15 Iōannēs martyrei peri
autū kai kekragen legōn; hūtos ēn hon eipon; ho opisō mū erkhomenos emprosthen mū
gegonen, hoti prōtos mū ēn 16 hoti ek tū plērōmatos autū hēmeis pantes elabomen kai
kharin anti kharitos; 17 hoti ho nomos dia Mōuseōs edothē, hē kharis kai hē alētheia dia
Iēsū Khristū egeneto. 18 Theon ūdeis heōraken pōpote; monogenēs theos ho ōn eis ton
kolpon tū patros ekeinos exēgēsato.

19 Kai hautē estin hē martyria tū Iōannū, hote apesteilan [pros auton] hoi Iūdaioi ex
Hierosolymōn hiereis kai Leuitas hina erōtēsōsin auton; sy tis ei? 20 kai hōmologēsen kai
ūk ērnēsato, kai hōmologēsen hoti egō ūk eimi ho khristos. 21 kai ērōtēsan auton; ti ūn?
sy Elias ei? kai legei; ūk eimi. ho profētēs ei sy? kai apekrithē; ū. 22 eipan ūn autō; tis ei?
hina apokrisin dōmen tois pempsasin hēmas; ti legeis peri seautū? 23 efē; egō *fōnē
boōntos en tē erēmō; euthynate tēn hodon kyriū,*

kathōs eipen Esaias ho profētēs.

24 Kai apestalmenoi ēsan ek tōn Farisaiōn. 25 kai ērōtēsan auton kai eipan autō; ti ūn
baptizeis ei sy ūk ei ho khristos ūde Elias ūde ho profētēs? 26 apekrithē autois ho Iōannēs
legōn; egō baptizō en hydati; mesos hymōn hestēken hon hymeis ūk oidate, 27 ho opisō
mū erkhomenos, hū ūk eimi [egō] axios hina lysō autū ton himanta tū hypodēmatos. 28
tauta en Bēthania egeneto peran tū Iordanū, hopū ēn ho Iōannēs baptizōn.

29 Tē epaurion blepei ton Iēsūn erkhomenon pros auton kai legei; ide ho amnos tū theū ho
airōn tēn hamartian tū kosmū. 30 hūtos estin hyper hū egō eipon; opisō mū erkhetai anēr
hos emprosthen mū gegonen, hoti prōtos mū ēn. 31 kagō ūk ēdein auton, all hina
fanerōthē tō Israēl dia tūto ēlthon egō en hydati baptizōn. 32 Kai emartyrēsen Iōannēs
legōn hoti tetheamai to pneuma katabainon hōs peristeran ex ūranū kai emeinen ep auton.
33 kagō ūk ēdein auton, all’ ho pempsas me baptizein en hydati ekeinos moi eipen; ef’ hon
an idēs to pneuma katabainon kai menon ep’ auton, hūtos estin ho baptizōn en pneumati
hagiō. 34 kagō heōraka kai memartyrēka hoti hūtos estin ho huios tū theū.